# ΠΕΡῚ ΤΩ͂Ν

## Μετὰ τὰς

# ΚΑΤΗΓΟΡΙ΄ΑΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΜΕΤΑΒΥΖΑΝΤΙΝΗΣ ΚΑΙ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Συμπληρώσαντες τὸν περὶ κατηγοριῶν λόγον μέχρι τοῦδε, λείπεται ὀλίγ᾽ ἄττα καὶ περὶ τοῦ τρίτου μέρους τῆς προκειμένης βίβλου εἰπεῖν. Εἴθισται δὲ τοῖς λογικευομένοις τὸ μέρος τοῦτο προσαγορεύεσθαι μετὰ τὰς κατηγορίας, ἐν ᾧ ὁ Φιλόσοφος περίτινων διαλαμβάνει, ἅπερ ὁμώνυμα ὄντα, οὐκ ἦν ἐπίτι γένος ἰδίᾳ ἀναγαγεῖν. Θεωρεῖται γὰρ ἐν διαφόροις γένεσι. Τούτων δὲ ἡ γνῶσις εἰς πληρεστέραν γνῶσιν τῶν εἰρημένων ἐν ταῖς κατηγορίαις συμβάλλεται. Ἐπεὶ γὰρ ἀκριβέστερον διαγνῶναι καὶ τάξαι ἕκαστον ἐν τοῖς οἰκείοις γένεσιν ἔχομεν, προσλαβόντες τὴν γνῶσιν τῶν λεγομένων ἐν τούτοις. Ὅθεν καὶ εἰώθασιν ὑπογράφειν τὰ περὶ ὧν ὁ λόγος, ἐνταῦθα διδασκαλίαν ἀναπληροῦσαν τὰ ἐν ταῖς κατηγορίαις εἰρημένα. Εἰσὶ δὲ ταῦτα τὸν ἀριθμὸν πέντε, τὰ Ἀντικείμενα, τὸ Πρότερον, τὸ Ἅμα, ἡ Κίνησις, καὶ τὸ Ἔχειν.

## Περὶ τῶν Ἀντικειμένων.

### Ὑπογραφὴ τῶν Ἀντικειμένων, καὶ ἀνάπτυξις τῆς αὐτῆς.

Λέγεται δὲ Ἀντικείμενα παρὰ τῷ Φιλοσόφῳ ἐν τῷ Δ. τῶν Μεταφυσικῶν, ὅσα μὴ ἐνδέχεται ἐνεῖναι ἅμα τῷ ἀμφοῖν δεκτικῷ, ἢ αὐτὰ πάντα, ἢ ἐξ ὧν ταῦτα. Ἔστι γὰρ ἡ ἀντίθεσις μάχη δύο τινῶν, μὴ παραχωρούντων ἀλλήλοις συνυπάρχειν ἐν τῷ αὐτῷ δεκτικῷ. Ἀριθμῷ δὲ ἐχρήσατο ὁ Φιλόσοφος πληθυντικῷ ἐπ᾽ αὐτῶν, ὅτι οὐδὲν αὐτὸ ἑαυτῷ ἀντικεῖσθαι φύσιν ἔχει, ἀλλ᾽ ἄλλῳ, ἢ ἄλλο. Ἅμα δὲ μὴ ἐνεῖναι τῷ αὐτῷ δεκτικῷ ἐννοεῖ ὁ Φιλόσοφος κατὰ τὸ αὐτὸ σημαινόμενον, καὶ πρὸς τὸ αὐτὸ



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἔξωθεν παραβαλλόμενον. Τὸ αὐτὸ γὰρ κατ' ἄλλο καὶ ἄλλο φάναι καὶ ἀποφάναι οὐδὲν κωλύει. καὶ τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο παραβαλλόμενον μέγα καὶ μικρὸν λέγεται. Τῷ κοινῷ δὲ ἀμφοῖν δεκτικῷ εἴρηται, πολλὰ καὶ τῶν μὴ ἀντικειμένων ἐν τοῖς μὴ ἀμφοῖν δεκτικοῖς ὑποκειμένοις συνυπάρχειν οὐ δύναται, ὡς λευκότης φέρε εἰπεῖν, καὶ γραμματικὴ ἐν ἵππῳ. οὐχ ὅτι εἰσὶν ἀντικείμενα, ἅμα γὰρ ἐνυπάρχουσι τῷ ἀνθρώπῳ. ἀλλὰ παρὰ τὸ μὴ εἶναι τὸν ἵππον δεκτικὸν ἐπιστήμης. Ἡ αὐτὰ δὲ, ἢ ἐξ ὧν ταῦτα προσείληπται ἐν τῇ ὑπογραφῇ διὰ τὰ μεταξὺ τῶν ἐναντίων. ἅπερ εἰ καὶ μὴ καθ' ἑαυτὰ ἀλλήλοις ἀντίκεινται, ἀλλὰ τὰ ἄκρα ἐξ ὧν ταῦτα σύγκεινται, κυρίως καὶ καθ' αὐτὰ εἰσὶν ἀντικείμενα. οὐδὲν ἧττον καὶ τὰ μεταξὺ τῶν ἐναντίων οὐ συνυπάρχειν πέφυκε τῷ αὐτῷ δεκτικῷ. τοῦτο δὲ αὐτοῖς πρόσεστι διὰ τὰ ἄκρα ἐξ ὧν σύγκειται, ἀφ' ὧν καὶ ταῦτα ἀντικείμενα ἔξεστι προσαγορεύειν.

## Διαίρεσις τῶν Ἀντικειμένων.

Διαιρεῖ τετραχῆ ὁ Φιλόσοφος τὰ Ἀντικείμενα. Εἰς τὰ Ἀντικείμενα, ὡς τὰ Πρός τι. ὃν τρόπον ὁ πατὴρ ἀντικεῖσθαι λέγεται τῷ υἱῷ, καὶ ἀνάπαλιν. καὶ δοῦλος δεσπότῃ, καὶ ὅσ' ἄλλα. Εἰς τὰ ἐναντία, ὡς τὸ ψυχρὸν ἀντίκειται τῷ θερμῷ, καὶ τῷ λευκῷ τὸ μέλαν, καὶ ὅσα τοιαῦτα. Καὶ εἰς τὰ κατὰ στέρησιν, καὶ ἕξιν, ὡς ὄψις καὶ τυφλότης, γνῶσις καὶ ἄγνοια. Καὶ τελευταῖον εἰς τὰ κυρίως ἀντικείμενα, ὡς ἡ κατάφασις, καὶ ἀπόφασις, ὡς ὁρᾷ, οὐχ ὁρᾷ, αἰσθήμων καὶ ἀναισθὴς ἐπὶ τοῦ λίθου λεγόμενα. Διαφέρει δὲ ἡ κατὰ ἀπόφασιν καὶ κατάφασιν ἀντίθεσις, τῆς κατὰ στέρησιν καὶ ἕξιν ἀντιθέσεως. ὅτι ἡ κατὰ ἀπόφασιν καὶ κατάφασιν ἀντίθεσις μεταξύ ἐστι τῆς καταφάσεως τοῦ ἐνόντος, καὶ τῆς ἀποφάσεως τοῦ μὴ εἶναι ἐνδεχομένου. Ἡ δὲ διὰ τῆς στερήσεως δηλουμένη ἀπόφασις τοῦ ἐνεῖναι προσήκοντός ἐστιν. Ὅθεν ἐκείνη μὲν ἁπλῶς ἐπὶ τοῦ ὄντος θεωρεῖται, αὕτη δὲ ἰδίᾳ ὑπάρχει τινι γένει τοῦ ὄντος ἐστὶν, οἷον τῇ ποιότητι. ὡς ὁ Φιλόσοφος ἐν τῷ Γ. τῶν Μεταφυσικῶν κεφαλαίῳ δευτέρῳ διδάσκει.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# Περὶ Προτέρου.

ΤΟ Πρότερον ὅτι ὁμωνύμως λέγεται δῆλον ἐστὶν ἐκ τοῦ κατὰ πολλοὺς λέγεσθαι τρόπους. ᾧ καὶ ἐχρήσατο ὁ Φιλόσοφος ἐν τῷ περὶ Οὐσίας λόγῳ, ἔνθα τῶν δευτέρων οὐσιῶν τὸ εἶδος πρότερον εἶναι τοῦ γένους ἔλεγε, καὶ τὴν ἄτομον οὐσίαν ἁπλῶς πρώτην πάντων. Ὅθεν οὐδὲ ἀπὸ σκοποῦ ἦν προθέσθαι ἐπὶ τοῦ παρόντος, καὶ παραδοῦναι καθ᾽ ὅσους αὖ λέγοιτο τρόπους. Τούτου τοιγαροῦν καίτοι κατ᾽ ἀρχὰς πενταχῶς λέγεσθαι εἰπὼν πέντε ἐφεξῆς διδάσκει τρόπους. καθ᾽ οὓς πρότερον ἕτερον ἑτέρου λέγεται. Πρόσθες δὲ ὅτι καὶ τὸ ὕστερον τοσαυταχῶς ῥηθήσεται.

Πρῶτον τοιγαροῦν καὶ κυριώτατα λέγεται τὸ Πρότερον κατὰ χρόνον, καθὸ πρεσβύτερον ἕτερον ἑτέρου λέγεται καὶ παλαιότερον, ὧν ἡ γέννησις μᾶλλον ἢ ἧττον ἀφέστηκε τοῦ ἐνεστῶτος. Λέγεται δὲ ἰδιαίτερον τὸ πρεσβύτερον ἐπ᾽ ἀνθρώπους, τὸ δὲ παλαιότερον ἐπὶ ἀψύχων.

Δεύτερος τρόπος ἐστὶ καθ᾽ ὃν τρόπον πρότερον λέγεται τὸ μὴ ἀντιστρέφον κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. τὸ γὰρ ἑπόμενον τινὸς ἑτέρου τεθέντος, μὴ μέντοι καὶ ἀνάπαλιν πρότερον λέγεται ἐκείνου, ὡς τὸ ἓν πρότερον τῶν δύο. δυοῖν μὲν γὰρ ὄντοιν ἀκολουθεῖ καὶ ἓν εἶναι. ἑνὸς δὲ ὄντος, οὐκ ἀναγκαῖον δύο εἶναι. καὶ ἀνθρώπου ὄντος, ἀνάγκη ζῶον εἶναι, ζώου δὲ ὄντος, οὐκ ἔτι καὶ ἄνθρωπον ἀνάγκη εἶναι.

Τρίτον δὲ τὸ πρότερον λέγεται κατὰ τάξιν. τούτου δὲ τρία ἐκτίθησι παραδείγματα ὁ Φιλόσοφος. τὸ προοίμιον ἐν τῷ λόγῳ, ὅτι πρότερον τῇ τάξει τῆς διηγήσεως. Τὰ στοιχεῖα κατὰ γραμματικούς, ὅτι πρότερα τῶν συλλαβῶν. καὶ τὰ κατὰ Μαθηματικοὺς στοιχεῖα, ὅτι πρότερα τῶν διαγραμμάτων τῇ τάξει ὑπάρχουσιν. Ἐννοεῖ δὲ διαγράμματα τὰς μαθηματικὰς ἀποδείξεις, ὅτι ἐπὶ διαγραμμάτων ἐκτίθενται. στοιχεῖα δὲ παρὰ τοῖς μαθηματικοῖς κοινότερον ἐννοεῖ τὰς μαθηματικὰς ἀρχὰς, ὁρισμοὺς δηλονότι, ὑποθέσεις, καὶ αἰτήματα, ἐξ ὧν τὰς ἀποδείξεις συνάγουσι.

Τέταρτον λέγεσθαί φησι τὸ πρότερον κατ᾽ ἀξίαν. ὃν τρόπον καὶ ἀνοίκειον εἶναι διδάσκει, οὐχ ὅτι μὴ ἐστὶν ἐν τῇ λεκτικῇ συνηθείᾳ, τὰ ἀξιώτερα καὶ τιμιώτερα προσαγορεύειν πρότερα, (εἰώθασι γὰρ οἱ πολλοὶ τοὺς ἐντιμοτέρους, καὶ μᾶλλον ἀγαπωμένους, ὑπ᾽ αὐτῶν προτέρους ἀποκαλεῖν) ἀλλ᾽ ὅτι τυχὸν τὸ πρότερον ἀπὸ τῆς ποσότητος ἠρτῆσθαι δοκεῖ ἡ δὲ ἀξία ὡς δύναμις τῆς Ποιότητος ἐστί. Τῶν ἐκτεθέντων δὲ τεττάρων τοῦ προτέρου τρόπων

παρὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΛΟΓΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

παρὰ πᾶσιν ὁμολογουμένων ὄντων, αὐτὸς καὶ πέμπτον προστίθησι, τῶν ἀντιστρεφόντων μὲν κατὰ τὴν ἀκολούθησιν τῆς ὑπάρξεως, θάτερον δὲ θατέρου ὁπωσοῦν αἴτιον κεῖται. Προχειρίζεται δὲ εἰς παράδειγμα τούτων τὸν ἀληθῆ λόγον καὶ τὸ σημαινόμενον ὑπ' αὐτοῦ πρᾶγμα. ὧν πρότερον εἶναί φησι τὸ σημαινόμενον πρᾶγμα τοῦ σημαίνοντος λόγου, ὅτι ἐστὶν αἴτιον τοῦ ἀληθεύειν τὸν λόγον. καίτοι πολλοὶ, καὶ τῶν νῦν, καὶ τῶν πάλαι, τὸν ἔσχατον τοῦτον τοῦ προτέρου τρόπον ἐπὶ τὸν δεύτερον ἀνάγουσιν. Ὅθεν τὰ πρότερα κατ' ἐκεῖνον, οὐ μόνον πρότερα κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν προσαγορεύουσιν, ἀλλὰ καὶ πρότερα τῇ φύσει. Εἰσὶ μέντοι πρότερα τῇ φύσει, εἴτουν κατὰ φύσιν ἰδιαζόντως τὰ κατὰ τὸν πρῶτον τρόπον προχειρισθέντα τῷ Φιλοσόφῳ.

## Περὶ τοῦ Ἅμα.

Τὸ δὲ Ἅμα εἶναι, ἀντίκειται τρόπον τινὰ τῷ πρότερον εἶναι. τούτου ὁ Φιλόσοφος δύο τρόπους κοινοτέρους ἐκτίθησιν, ὧν ὁ μὲν κατὰ χρόνον θεωρεῖται, ὁ δὲ κατὰ φύσιν. Καὶ ἅμα μὲν κατὰ χρόνον ἐκεῖνα λέγεται εἶναι, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ ἐστὶ, κοινότερον ἐννοουμένης τῆς γενέσεως. Καὶ οὗτος ὁ τρόπος τοῦ ἅμα εἶναι, ἀντίκειται τῷ πρώτῳ τρόπῳ τοῦ πρότερον εἶναι. κατὰ φύσιν δὲ ἅμα εἶναι φησὶν ὅσα ἀντιστρέφει μὲν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν. Τὸ μέντοι ἕτερον οὐδαμῶς ἐστὶ θατέρου αἴτιον κατὰ τὸ εἶναι. τοιαῦτα εἶναι διδάσκει τὰ σχετικὰ, ὡς τὸ διπλάσιον, ἥμισυ, καὶ ὅσ' ἄλλα. καὶ αἱ διαιρετικαὶ τῶν γενῶν διαφοραὶ, ὡς τὸ λογικὸν καὶ ἄλογον, καὶ τὰ τοιαῦτα. Ἀντίκειται δὲ ὁ δεύτερος τοῦ ἅμα τρόπος τῷ τε δευτέρῳ καὶ πέμπτῳ τρόπῳ τοῦ προτέρου. Εἰκὸς δὲ ἐστὶ καὶ ἄλλους εἶναι τοῦ ἅμα τρόπους, οἵτινες ἀντίκεινται τῷ τρίτῳ, καὶ τετάρτῳ τοῦ προτέρου τρόπῳ, τοῦ κατὰ τάξιν δηλαδὴ καὶ ἀξίαν. Τὸ πρότερον, καὶ ὕστερον ὡς ἄκρα ἀλλήλοις ἀντικείμενα, εἰκὸς ἐστὶ τῷ ἅμα ἀμφότερα ἀντιθέτως ἔχειν, ὡς τὰ ἔσχατα τῷ μέσῳ. Ὅθεν ὁσαχῶς τὸ πρότερον ἐνδέχεται λέγεσθαι, τοσαυταχῶς καὶ τὸ ἅμα δοκεῖ λέγεσθαι.

Προστίθησιν ὁ Φιλόσοφος καὶ τρίτον τρόπον τοῦ ἅμα ἐν τῷ Ε. τῶν Φυσικῶν. καθ' ὃν ἅμα τῷ τόπῳ λέγεται ὅσα ἐν τῷ αὐτῷ τόπῳ εἰσίν. Ἐννοεῖται μέντοι τόπος ἐνταῦθα οὐχ ὁ πρώτως καὶ ἀμέσως περιέχων ἕκαστον σῶμα. φαίης δ' ἂν καὶ τῇ ἀξίᾳ ἅμα εἶναι, ὅσα τῆς αὐτῆς ἀξιοῦται τιμῆς.

Περὶ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Περὶ Κινήσεως.

ΤΙ' ποτ' αὖ εἴη Κίνησις, καὶ τίνες αἱ κατ' ἐκείνην διαιρέσεις τε, καὶ τὰ πάθη, ὅσα περὶ αὐτὴν θεωρεῖται, διεξοδικώτατα παραδίδωσιν ὁ Φιλόσοφος ἐν τοῖς περὶ Φυσικῆς ἀκροάσεως. Ἐπειδὴ δὲ ἡ Κίνησις ὁμωνύμως λέγεται, ὡς ὑπὸ πλείους ὑπαγομένη κατηγορίας, ἐδέησε τῷ Φιλοσόφῳ ἐπὶ τοῦ παρόντος ἀπαριθμήσασθαι γοῦν τὰ ἐκείνης γένη, εἰς ἔννοιαν ἀμυδρὰν τῆς αὐτῆς. Ἐννοεῖ δὲ τὴν κίνησιν κοινότερον καθὸ περιέχει καὶ τὴν γένεσιν, ἣν διαιρεῖ εἰς γένεσιν, καὶ φθοράν, αἵτινες θεωροῦνται ἐπὶ τῆς οὐσίας. Εἰς τὴν ἀλλοίωσιν, ἥτις γίνεται μεταξὺ τῶν ἐναντίων Ποιοτήτων. Εἰς αὔξησιν, καὶ μείωσιν, αἵπερ πεφύκασι γίνεσθαι μεταξὺ ἀτελοῦς, καὶ ἐντελοῦς Ποσότητος τοῦ φυσικοῦ συνθέτου. Καὶ τελευταῖον εἰς τὴν κατὰ τόπον κίνησιν, ἣ καὶ ἰδιαίτερον φορὰ προσαγορεύεται.

Ἔστι δὲ γένεσις κίνησις, ἤτοι μεταβολὴ ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι. Φθορὰ δὲ ἀνάπαλιν, κίνησις, ἤτοι μεταβολὴ ἀπὸ τοῦ εἶναι εἰς τὸ μὴ εἶναι. Θεωροῦνται δὲ αὗται ἐπὶ τῆς οὐσίας. Ἀλλοίωσις δὲ ἐστὶ κίνησις ἀπὸ ποιότητος ἐναντίας εἰς ἐναντίαν ποιότητα, ὡς ἀπὸ τοῦ λευκοῦ ἐπὶ τῷ μέλανι. Θεωρεῖται δὲ ἐν Ποιότητι. Αὔξησις δὲ ἐστὶ κίνησις, ἀπὸ τοῦ ἀτελοῦς μεγέθους τοῦ φυσικοῦ συνθέτου, ἐπὶ τὸ ἐντελὲς αὐτοῦ κατὰ φύσιν μέγεθος. Μείωσις δὲ τοὐναντίον, ἀπὸ ἐντελοῦς μεγέθους, ἐπὶ τὸ ἀτελὲς ἐπάνοδος. Θεωροῦνται δὲ ἐν Ποσότητι. Φορὰ δὲ ἐστὶ κίνησις ἀπ' ἄλλου ἐπ' ἄλλον τόπον, ἥτις Ἢ ἐπ' εὐθείας γίνεται, ὡς ἡ τῶν καλουμένων στοιχείων κίνησις. Ἢ κυκλικῶς, ὡς ἡ τῶν οὐρανίων σωμάτων περιστροφή. Ἢ γοῦν μικτή, ὡς τῶν ὑπὸ τὴν σελήνην συνθέτων, καὶ ὅσ' ἄλλα τῶν ἐν γενέσει διαφόρους πέφυκε κινεῖσθαι κινήσεις. Θεωροῦνται δὲ πᾶσαι ἐπὶ τῆς Ποῦ κατηγορίας. Ὁρίζεται δὲ ἁπλῶς ἡ κίνησις ἐντελέχεια τοῦ δυνάμει ὄντος ᾗ τοιούτου.

## Ἀντίθεσις τῆς Κινήσεως.

ΤΗ͂ δὲ Κινήσει ἀντίκειται μὲν ἁπλῶς πάσῃ, κατὰ λόγον στερήσεως, ἡ ἠρεμία. Ἐννοεῖται δὲ ἡ ἠρεμία, οὐχ ἡ στάσις τῶν κατὰ φύσιν ἠρεμούντων, ὡς ἡ τῆς γῆς στάσις περὶ τὸ μέσον, ἢ τοῦ πυρὸς ὑπὸ τὴν κοιλότητα τῆς σεληνιακῆς σφαίρας, ἀλλ' ἡ βίαιος ἠρέμησις, καθ' ἣν τὰ

βίᾳ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

βίᾳ ἐχόμενα ἠρεμεῖ, ὡς ἔτι γεηρὸν ἐπὶ τοῦ ἀέρος βιαίως ἐχόμενον, κωλύεται τῆς ἐπὶ τὸ μέσον φορᾶς. ἢ ἀὴρ ὑπὸ τὸ ὕδωρ κατεχόμενος. Ἡ οὖν τοιαύτη ἠρέμησις ἀντίκειται τῇ κινήσει, ὡς εἴρηται, ὡς ἡ στέρησις τῇ ἕξει. Ἑκάστη δὲ τῶν κινήσεων, ἰδίᾳ ἀντίκειται κινήσει, ὡς ἐναντία, οἷον τῇ μὲν γενέσει ἡ φθορὰ, τῇ δὲ αὐξήσει ἡ μείωσις, τῇ ἀλλοιώσει, ἡ εἰς τὸ ἐναντίον ἀλλοίωσις. Οὕτω καὶ ἐπὶ τῶν κατὰ τόπον, ἡ ἄνω, τῇ κάτω. δηλαδὴ ἡ ἀπὸ τοῦ πέριξ ἐπὶ τὸ μέσον, καὶ ἀνάπαλιν. Τῇ δὲ κύκλῳ κινήσει, οὐκ ἔστιν ἐναντία κίνησις.

Ἀπορεῖ δὲ ὁ Συμπλίκιος ἐπὶ τοῦ παρόντος, τί μὴ καὶ ἐπὶ τῶν λοιπῶν κατηγοριῶν δίδοται κίνησις, ἵνα ᾖ δέκα τὰ γένη τῆς κινήσεως, ὥσπερ καὶ τοῦ ὄντος; καὶ γὰρ ἐπὶ πασῶν τῶν κατηγοριῶν πέφυκε γίνεσθαι μεταβολὴ, ἡ δὲ μεταβολὴ διὰ κινήσεως. Εἰσάγει καὶ μάρτυρα τὸν Φιλόσοφον „ ὃς ἐν τῷ Γ. τῶν Φυσικῶν συμπεραίνων φησί. διὸ καὶ κινήσεως καὶ „ μεταβολῆς τόσα εἴδη εἰσὶ, ὅσα καὶ τοῦ ὄντος. Μέμνηται δὲ καὶ Θεοφράστου ὁμοίως διδάσκοντος, ἐφ' ἑκάστης κατηγορίας κίνησιν εἶναι.

Ἀλλὰ περὶ τούτου πληρέστερον ἐν τοῖς Φυσικοῖς, νυνὶ δὲ συντόμως ῥητέον, ὅτι ἐπὶ τῶν λοιπῶν κατηγοριῶν παρὰ τὰς εἰρημένας τέτταρας οὐκ ἔστι κίνησις οὐδὲ μία καθ' αὐτὸ, ἀλλὰ δι' ἄλλο. οὔτε γεννῶνται, ἢ φθείρονται, τὰ ἐκείναις τεταγμένα καθ' ἑαυτὰ, ἀλλὰ συμπαράγονται μὲν τῇ παραγωγῇ τῶν εἰρημένων τεττάρων, ὥσπερ καὶ φθείρονται ἑπομένως τῇ φθορᾷ ἐκείνων.

## Περὶ τοῦ Ἔχειν.

Ἐπὶ τοῦ παρόντος μὲν ὁ Φιλόσοφος πλείω τίθησι σημασίας τοῦ Ἔχειν. ὀκτώπου σχεδὸν, ἢ ἐννέα. Ταύτας δὲ ἐν τῷ Δ. τῶν Μεταφυσικῶν εἰς τέτταρας ἀνακεφαλαιοῦται. Πρῶτον μὲν οὖν φησὶν Ἔχειν λέγεται τὸ ἄγειν κατὰ τὴν ἑαυτοῦ φύσιν, ἢ ὁρμήν. ὃν τρόπον ὁ πυρετὸς λέγεται ἔχειν τὸν ἄνθρωπον, καὶ οἱ τύραννοι τὰς πόλεις. Ἕτερον δὲ τρόπον λέγεται ὡς τὸ δεκτικὸν τοῦ εἴδους, οἷον ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος, καὶ τὴν νόσον τὸ σῶμα, καὶ ἁπλῶς ὁποιουοῦν εἶδος οὐσιῶδες, ἢ ἐπουσιῶδες. Τρίτον Ἔχειν λέγεται, ὡς τὸ περιέχον τὰ περιεχόμενα, ἢ τὸ ὅλον τὰ μέρη. Τέταρτον ὡς τὸ κωλύον τι κατὰ τὴν αὑτοῦ ὁρμὴν κινεῖσθαι, ἢ πράττειν, οἷον οἱ κίονες τὰ ἐπικείμενα βάρη. Καίτοι γε ὁ τέταρτος οὗτος τρόπος συμπίπτει τῷ πρώτῳ.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Τοῖς τέτταρσι τούτοις τρόποις, περιέχονται πᾶσαι αἱ ἐκτεθεῖσαι σημασίαι ἐπὶ τοῦ παρόντος. Ἡ μὲν γὰρ πρώτη καὶ δευτέρα περιέχονται ἐν τῷ δευτέρῳ τρόπῳ. Ἡ δὲ τρίτη καὶ τετάρτη ἀναφέρονται ἐπὶ τὴν ὁμώνυμον τοῦ Ἔχειν κατηγορίαν. Ἡ δὲ πέμπτη καὶ ἕκτη ἐν τῷ τρίτῳ, ὡς ἡ ἑβδόμη ἐν τῷ πρώτῳ, ἔτι αὖ τετάρτῳ. Ἡ δὲ ἐσχάτη σημασία καθ᾽ ἣν λέγεται ὁ ἀνὴρ γυναῖκα ἔχειν, καὶ ἡ γυνὴ ἄνδρα, ἀλλοτριώτατον ἐστὶ τῶν σημαινομένων τοῦ Ἔχειν. οὐδὲν γὰρ ἄλλο σημαίνει τὸ ἔχειν γυναῖκα, ἢ ὅτι συνοικεῖν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

**Τὰ μετὰ τὰς κατηγορίας λεγόμενα, πέντε.**

- **Τὰ ἀντικείμενα τετραχῶς διαιρεῖται.**
  - Εἰς τὰ ἀντικείμενα κατὰ τὸ πρός τι, ὃν τρόπον ὁ πατὴρ ἀντίκειται τῷ υἱῷ, καὶ ἀνάπαλιν.
  - Εἰς τὰ ἀντικείμενα κατ' ἐναντίωσιν, ὡς τὸ ψυχρὸν ἀντίκειται τῷ θερμῷ, καὶ τῷ λευκῷ τὸ μέλαν.
  - Εἰς τὰ καθ' ἕξιν καὶ στέρησιν, ὡς ἕξις καὶ τυφλότης, γνῶσις καὶ ἄγνοια.
  - Εἰς τὰ κυρίως ἀντικείμενα, ὡς ἡ κατάφασις καὶ ἀπόφασις, οἷον ὁρᾷ, οὐχ ὁρᾷ.
- **Τὸ πρότερον. οὗ τούτου τρόποι πέντε.**
  - Πρῶτος, καθ' ὃν πρεσβύτερον λέγεται κατὰ χρόνον ἕτερον ἑτέρου καὶ παλαιότερον. Τὸ μὲν πρεσβύτερον ἐπ' ἀνθρώπους. Τὸ δὲ παλαιότερον ἐπὶ ἀψύχων.
  - Δεύτερος, καθ' ὃν πρότερον λέγεται τὸ μὴ ἀντιστρέφειν κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν.
  - Τρίτος, καθ' ὃν πρότερον λέγεται κατὰ τάξιν, ὡς τὸ προοίμιον ἐν λόγῳ.
  - Τέταρτος, καθ' ὃν πρότερον λέγεται κατ' ἀξίαν.
  - Πέμπτος, καθ' ὃν ἀντιστρέφουσι μέν τινα κατὰ τὴν ἀκολούθησιν τῆς ὑπάρξεως, θάτερον δὲ θατέρου ὁπωσοῦν αἴτιον. Τοῦτον δὲ τὸν πέμπτον τρόπον, πολλοὶ ἐπὶ τὸν δεύτερον ἀνάγουσι, καὶ ἄμφω ὁμοίως εἶναι βούλονται.
- **Τὸ ἅμα. καὶ τοῦτο τετραχῶς.**
  - Τὸ μὲν κατὰ χρόνον.
  - Τὸ δὲ κατὰ φύσιν.
  - Τὸ δὲ κατὰ τόπον.
  - Τὸ δὲ κατ' ἀξίαν.
- **Ἡ κίνησις. καὶ αὕτη,**
  - Κατὰ γένεσιν.
  - Κατὰ γένεσιν.
    - Καὶ φθοράν.
    - Κατ' αὔξησιν.
    - Καὶ μείωσιν.
  - Κατ' ἀλλοίωσιν.
  - Καὶ κατὰ τόπον. ἣ καὶ ἰδιαίτερον φορὰ λέγεται.
- **Τὸ ἔχειν. καὶ τούτου τῆς πλειοσημασίας εἰς τέταρτα ἀνακεφαλαιοῦται ὁ Φιλόσοφος τῷ τετάρτῳ τῶν σημαινομένων.**
  - Πρῶτον, εἶναι ἔχειν φησί, τὸ ἄγειν κατὰ τὴν ἑαυτοῦ φύσιν, ἢ ὁρμήν, ὃν τρόπον ὁ πυρετὸς ἔχειν λέγεται τὸν ἄνθρωπον.
  - Δεύτερον, ὡς τὸ δεκτικὸν τοῦ εἴδους, οἷον ὁ χαλκὸς τὸ εἶδος τοῦ ἀνδριάντος.
  - Τρίτον, ὡς τὸ περιέχον τὰ περιεχόμενα, οἷον ἡ πόλις τοὺς ἀνθρώπους, καὶ τοὺς ἀνθρώπους ἡ ναῦς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΣΥΝΤΟΝΙΣΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Επ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΕἸΣ ΤῸ ΠΕΡῚ

# ἙΡΜΗΝΕΊΑΣ

## Τοῦ Ἀριστοτέλους ὑπομνήματα.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ἀποχρώντως ἐπὶ τοῦ προλαβόντος τὴν τοῦ ὄντος διαίρεσιν εἰς δέκα γενικώτατα γένη ἐκθέμενος, καὶ τὴν τάξιν τῶν κατηγορουμένων ἐφ' ἑκάστου παραδοὺς, καὶ οἱονεὶ πρώτην ὕλην πάσης ὑποτείνας τῆς πραγματείας, ἐντεῦθεν ἤδη εὐφυῶς μεταβαίνει εἰς τὴν κατασκευὴν τοῦ συλλογισμοῦ. Εἴθισται δὲ ἐφ' ἑκάστου συγγράμματος τῶν κατὰ φιλοσοφίαν, τινὰς ζητήσεις προβάλλειν, ἃ καὶ προλεγόμενα λέγεται εἰς ῥᾳοτέραν κατάληψιν τῶν ῥηθησομένων. Ἀλλὰ ταῦτα ὁ Φιλόσοφος εὐθὺς ἐπὶ τοῦ πρώτου κεφαλαίου προθέμενος, ἀπήλλαξεν ἡμᾶς πάσης ἀντιλογίας. δεήσει τοιγαροῦν ἡμῖν οὐδὲν ἄλλο, ἢ τὴν τοῦ Φιλοσόφου διασκέψασθαι λέξιν.

## Κεφάλαιον πρῶτον.

» Πρῶτον δεῖ θέσθαι τί Ὄνομα, καὶ τί Ῥῆμα. ἔπειτα τί ἐστὶ Κατά-
» φασις, καὶ Ἀπόφασις, καὶ Ἀπόφανσις, καὶ Λόγος.

Ἐπὶ παντὸς ἔργου καὶ λόγου πρὸ τῶν ἄλλων πάντων ἐκεῖνο προειλῆφθαι χρεὼν, περὶ ὃ πᾶς ὁ λόγος, εἴτ' οὖν τὸ ἔργον μέλλει ἀνύεσθαι, οἷόν ἐστιν ἐπὶ μὲν τῶν θεωρητικῶν ἕξεων τὸ λεγόμενον ἐπιστητὸν γένος, ἐπὶ δὲ τῶν τεχνῶν ὃ καλεῖται ὕλη, περὶ ἣν ὁ τεχνίτης ἐργάζεται, καὶ ἐξ ἧς τὰ τεχνητὰ κατασκευάζει. ὃ δὴ καὶ ἐπ' ἀμφοῖν κοινότερον τοῖς προτέροις ὑποκείμενον ἤκουσεν. Ὅτου χάριν καὶ ὁ Φιλόσοφος εὐθὺς ἐν



Ε.Υ. ... ΙΩΑΝΝΙΝΑ 2006

προοιμίοις ἐνταῦθα τὸ ὑποκείμενον ἡμῖν τῆς πραγματείας τίθησιν. Εἶτα τὸν τρόπον καθ᾽ ὃν θεωρεῖται τὸ προτεθὲν διδάσκει. καὶ τρίτον διαίρεσίν τινα τοῦ αὐτοῦ παραδίδωσιν. Ὅθεν οὐκ ἀπεικότως καὶ εἰς τρία διαιρεῖσθαι τὸ προτεθὲν κεφάλαιον ἔξεστι λέγειν. Τοιγαροῦν ἐπὶ μὲν τοῦ πρώτου μέρους οὐχ ἁπλῶς, οὐδ᾽ ἐπὶ μιᾶς φωνῆς προθέσθαι τὸ ὑποκείμενον τῆς πραγματείας φαίνεται δοκιμάσας. ἀλλὰ δι᾽ ἀπαριθμήσεως τῶν μερῶν τοῦ αὐτοῦ, καὶ εἰδῶν, ἀρξάμενος ἀπὸ τῶν ἁπλουστέρων καὶ μερικωτέρων, καὶ προελθὼν μέχρι τοῦ κοινοῦ γένους τούτων, τυχὸν ἵνα διεξοδικωτέρᾳ τῇ ἐκθέσει, τήν τε πρόθεσιν ἀριδηλοτέραν σαφηνίσῃ τῆς πραγματείας, καὶ τὴν τάξιν τῶν ἐκείνου μερῶν συμπαραστήσῃ. Τὸ γὰρ ὑποκείμενον ἐνταῦθα, μιᾷ μὲν φωνῇ ὁλοσχερῶς εἰπεῖν ἐστίν, ἡ Ἀπόφανσις, εἴτ᾽ οὖν ὁ ἀποφαντικὸς λόγος. μέρη δὲ αὐτοῦ τό,τε Ὄνομα, καὶ τὸ Ῥῆμα. ἐκ τούτων γὰρ ὁ ἀποφαντικὸς σύγκειται λόγος. Εἴδη δὲ τούτου, ἥτε Κατάφασις, καὶ Ἀπόφασις. ἐξ ἴσου γὰρ αὗται τὴν Ἀπόφανσιν, ἤτοι τὸν ἀποφαντικὸν διαιροῦσι λόγον. Ὁ δὲ λόγος κοινότερον ἐννοούμενος, γένος ἐστὶ τοῦ ἀποφαντικοῦ λόγου.

Ὁ τοίνυν Φιλόσοφος ἀρξάμενος, ὡς εἴρηται, ἀπὸ τῶν ἁπλουστέρων, Πρῶτον μὲν ἔθετο τί τό,τε Ὄνομα, καὶ τὸ Ῥῆμα ὡς ἁπλούστερα μέρη τοῦ ἀποφαντικοῦ λόγου. Δεύτερον ἔταξε τὰ εἴδη τοῦ αὐτοῦ, Ἀπόφασιν δηλαδὴ, καὶ Κατάφασιν, οἷς ἐπήνεγκε τὴν Ἀπόφανσιν, καὶ τελευταῖον τὸν Λόγον. Ταῦτα δὲ καίτοι πληθυντικῶς ἐξενηνεγμένα, ἑνίζονται μέντοι πάντα τῷ ἀποφαντικῷ λόγῳ. περὶ οὗ πᾶσα ἡ διδασκαλία ἐνταῦθα. Εἴρηται δὲ, πρῶτον δεῖ θέσθαι τί ὄνομα, καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ ὑποθέσθαι, ἵνα δηλώσῃ ὡς εἴρηται ὅτι τὸ περὶ οὗ ὁ λόγος, ἤτοι τὸ ὑποκείμενον, ὑποθετέον ἐστὶ πρὸ τῶν ἄλλων ἐγνωσμένον. ἔστι γὰρ τὸ κυριώτατον τῶν ἐν τῇ ἀποδεικτικῇ μεθόδῳ ἐγνωσμένων, ὃ ὑποτίθεσθαι πρὸ πάσης διδασκαλίας ὁ Φιλόσοφος παρεγγυᾶται.

,, Ἔστι μὲν οὖν τὰ ἐν τῇ (1) φωνῇ, τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμ-
,, βολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ, καὶ τὰ λοιπά.

Τῶν ὑποκειμένων ταῖς τέχναις, ἢ ἐπιστήμαις εἰς θεωρίαν πραγμάτων οὐχ οὕτως ἕκαστον ἰδίᾳ τινὶ ἀποκεκλήρωται τέχνῃ, ὡς μὴ θέμις εἶναι ἑτέρας τέχνης, ἢ ἐπιστήμης ὑποπεσεῖν θεωρίᾳ. ἀλλ᾽ ἓν καὶ τὸ αὐτὸ

πρᾶγ-

(1) Τουτέστιν αἱ φωναί.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρᾶγμα ἐπὶ πολλὰς εὑρεῖν ἐστιν ἀνῆκον ἐπιστήμας, ἢ τέχνας, οἷον τὰ ξύλα οὐ μόνον τέκτονι, ἀλλὰ καὶ ναυπηγῷ ὕλη γίνεται. Καὶ ἐπὶ τῶν θεωρητικῶν ὁ αὐτὸς ἄνθρωπος, τῷ μὲν φυσικῷ ᾗ φύσιν ἔχων, τῷ δὲ μεταφυσικῷ, ᾗπέρ ἐστιν εἶδος τοῦ ὄντος θεωρεῖται. Ἰδιάζεται δὲ καὶ μιᾷ τινι ἀντιστρόφῳ ἕξει, τῶν ἄλλων ἀφοριζόμενον, ἐπὶ μὲν τῶν ἐπιστημῶν τῷ ἰδιαστικῷ τῆς θεωρίας τρόπῳ, ἐπὶ δὲ τῶν τεχνῶν κατὰ τὸ διάφορον τοῦ τέλους ἑκάστης, ὡς ἐπὶ τοῦ αὐτοῦ παραδείγματος. τὰ ξύλα θεωρούμενα μὲν ὅπως ἔχει ἐπιτηδείως εἰς κατασκευὴν ἀβακίου, ἢ κιβωτίου, τοῦ τέκτονος εἰσὶν ὕλη. εἰς δὲ κατασκευὴν νηὸς ἀναφερόμενα, τοῦ ναυπηγοῦ ἰδιαζόντως ὕλη γίνεται.

Ἀμέλειτοι καὶ τὰ ἐκτεθέντα εἰς διάσκεψιν ἐνταῦθα, Ὄνομα, Ῥῆμα, καὶ τὰ ἑξῆς, οὐ μόνον ἐπὶ τῆς λογικῆς θεωρεῖται μεθόδου, ἀλλὰ καὶ εἰς γραμματικούς, καὶ ῥήτορας ἀνήκει. Διατοῦτο ὁ Φιλόσοφος ἵνα ἡμῖν τὸν ἰδιάζοντα τρόπον τῆς ἐπὶ τοῦ παρόντος αὐτῶν διαλήψεως διατρανώσῃ, καὶ τῆς τῶν γραμματικῶν, καὶ ῥητόρων ἀντιδιαστείλῃ σκέψεως, τέτταρα ταῦτα προχειρίζεται, ἀμηγέπως ἀνήκοντα εἰς τὴν ὕλην τῆς λογικῆς πραγματείας, Πράγματα δηλαδή, Νοήματα, Φωνάς, καὶ Γράμματα. ὧν τὰ μὲν Πράγματα προϋπόκειται, οἷόν τις βάσις ἐσχάτη τῶν λοιπῶν. ἐπιγίνεται δὲ τὰ Νοήματα, ἐπειδὰν διὰ τῶν αἰσθήσεων ἀναμαξάμενοι τὰ τῶν πραγμάτων ἰνδάλματα, ἢ γοῦν προϋποκείμενα ἐν τῇ φαντασίᾳ θεωρῶμεν, καὶ εἰσὶ τῶν πραγμάτων τὰ νοήματα, οἷον εἰκόνες τινές, καὶ ὁμοιώματα ἐν τῇ ψυχῇ. Τρίτην δὲ τάξιν ἐσχήκασιν αἱ Φωναί, σημεῖα οὖσαι τῶν νοημάτων, καὶ σύμβολα, ὥσπερ καὶ τὰ γράμματα τῶν φωνῶν. Τούτων δὲ τὰ μὲν πράγματα, καὶ νοήματα φύσει εἰσίν, ὡς παρὰ πᾶσιν ὄντα ταὐτά, τὰ δὲ λοιπὰ δύο αἱ φωναί, καὶ τὰ γράμματα, οὐκ ἔτι φύσει, ἀλλὰ θέσει μόνον, καὶ τῆς ἡμετέρας ἐπινοίας τυγχάνουσι δημιουργήματα. οἱ γὰρ ἄνθρωποι συνελθόντες, συνέθεντο ὁποίαις τισὶ φωναῖς σημαίνειν πρὸς ἀλλήλους τὰ πράγματα, τίσι δὲ χαρακτῆρσι τὰς φωνὰς ἀποσημειοῦσθαι, διὸ καὶ ἄλλοις μὲν Ἕλληνες, ἄλλοις δὲ Ἰταλοὶ κέχρηνται, καὶ ἄλλοι ἄλλοις. Ὅθεν οὐδὲ ἐφ' ἡμῖν ἐστὶ τὰ πράγματα, ἢ γοῦν τὰ νοήματα μεταποιήσασθαι, ἀλλὰ τοῖς αὐτοῖς ἐντυποῦνται φαντάσμασι, περὶ τῶν αὐτῶν πραγμάτων πάντες ἄνθρωποι. ὥσπερ καὶ τὰ πράγματα παρὰ πᾶσιν εἰσὶ τὰ αὐτά. Τὰς δὲ φωνάς, καὶ τὰ γράμματα, ἅτε δὴ τῆς ἡμετέρας ἐπινοίας ἐξηρτημένα κατὰ τὸ δοκοῦν, οἱ ἄνθρωποι μεταποιεῖν δύνανται. Ὅθεν εἰ καὶ πάντα ταῦτα συντρέχουσιν ἀμηγέπως ἐν λόγῳ ὕλης,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὕλης, εἰς τὰ τῆς λογικῆς ἀποτελέσματα. (ταῦτα γάρ εἰσι τὰ τῆς λογικῆς ἀποτελέσματα πραγμάτων νοουμένων δηλωτικά, διὰ φωνῶν προφερόμενα, καὶ γράμμασιν. οὕτω δὲ ἦσαν σημαινόμενα) κυριώτερον δὲ συνέχει τὰ πράγματα, καὶ τὰ νοήματα, ὧν ἄνευ οὐκ ἂν γένοιτο συλλογισμός, ἢ ἀπόδειξις, καὶ ὧν ἐν τῇ ἀφομοιώσει τὸ ἀληθὲς ἀποτελεῖται, καὶ ψεῦδος, οὗ εἰς γνῶσιν τε καὶ διάκρισιν πᾶσα ἡ λογικὴ πεφιλοτέχνηται μέθοδος. Διακρίνεται δὲ παρὰ ταῦτα ἡ προκειμένη μέθοδος τῶν ὁποιωνοῦν ἄλλων λογικῶν (1) ἕξεων διὰ τὸ οἰκεῖον τέλος. ὅτι πάντα τὰ εἰρημένα ἐπὶ τοσοῦτον ὑποπίπτει τῇ λογικῇ, ἐφ' ὅσον εἰς κατασκευὴν συλλογισμοῦ, ἀποδείξεως, καὶ τῶν τοιούτων συμβάλλεται. οὐχ οὕτω δὲ ἐπὶ ῥητορικῆς, ἢ γραμματικῆς, ἡ διάσκεψις τούτων γίνεται.

## Ἀπορία.

ΕΙ'πόντος δὲ τοῦ Φιλοσόφου ἐν τελευταίῳ κεφαλαίῳ τοῦ Θ. τῶν Μεταφυσικῶν, τὸ κατὰ σύνθεσιν, ἢ διαίρεσιν ἀληθὲς ἐν τῇ διανοίᾳ εἶναι, πολλοὶ τῶν νεωτέρων ὑπέλαβον τὴν λογικὴν μέθοδον, περὶ τὸ κατ' ἐπίνοιαν ὂν καταγίνεσθαι. φασὶ γὰρ εἰ τὸ ἀληθὲς ἐν τῇ διανοίᾳ, καὶ ἡ ἀφομοίωσις τῶν νοημάτων καὶ λόγων, καθ' ἣν τὸ ἀληθεύειν ἔχουσιν, ἔργον ἐστὶ τῆς διανοίας, καὶ ταύτης ἐν τῷ εἶναι ἤρτηται, τὰ δὲ τοιαῦτα ἐπινοίας τυγχάνουσι δημιουργήματα, ἄρα.

Ἀλλ' ἀπαντητέον πρὸς ταῦτα, ὡς εἰ καὶ ἐν τῷ τὴν διάνοιαν διαιρεῖν, ἢ συντιθέναι τὰ νοήματα, τὸ ἀληθές, ἢ τὸ ψεῦδος ἐν αὐτοῖς ἕπεται, οὐ μὴν διατοῦτο ἡ ἀφομοίωσις τῶν νοημάτων πρὸς τὰ πράγματα, καθ' ἣν τὸ ἀληθὲς συνέστηκεν, ἢ αὐτὸ τὸ ἀληθὲς ὄντα εἰσὶ κατ' ἐπίνοιαν. Οὐδεὶς γὰρ ἂν εἴποι τὰς τοῦ νοός, ἢ διανοίας ἐνεργείας, εἶναι κατ' ἐπίνοιαν ὄντα, ὅτι μὴ ὅσα κατὰ τὸ δοκοῦν συντίθησιν, οὐδαμῶς ἐπὶ τῶν πραγμάτων ὑπάρχοντα· οὐδὲ τὴν πρὸς τὰ πράγματα ἀφομοίωσιν ἐπὶ τῶν νοημάτων, ὂν κατ' ἐπίνοιαν ἐνδέχεται λέγειν. Ἔστι γὰρ οὐδὲν ἄλλο ἡ ἀφομοίωσις, ἢ αὐτὰ τὰ νοήματα ὡδίπως ἔχοντα. Οὐδὲ τὰς τῶν ὄντων εἰκόνας, ὂν κατ' ἐπίνοιαν ἐνδέχεται λέγειν. Ἡ δὲ ἀφομοίωσις τῶν νοημάτων πρὸς τὰ πράγματα ἐν τοῖς νοήμασι θεωρουμένη, οὐδὲν ἄλλο ὅτι μὴ εἰκὼν ἐστὶ τῶν πραγμάτων. ἀλλ' οὐδὲ εἰ τὴν ἀφομοίωσιν ὡς σχέσιν ἐκλάβῃς, ἔσται κατ' ἐπίνοιαν ὄν. Θεωρουμένη γὰρ μεταξὺ νοημάτων τε καὶ

πραγ-

(1) Λογικαὶ ἕξεις, ὡς λογική, ῥητορική, γραμματική.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πραγμάτων, οὐκ ἔστιν, ὅτι μὴ πραγματικὴ σχέσις ὁμοιότητος. Ἀλλ' οὐδὲ τὸ ἐν τῇ συνθέσει, ἢ διαιρέσει ἀληθὲς, τὸ κατὰ τὴν ἀφομοίωσιν τῶν νοημάτων πρὸς τὰ πράγματα τῆς ἡμετέρας διανοίας ἐν τῷ εἶναι ἤρτηται, ὅτι μὴ κατὰ πρόφασιν (1) φαίης. καὶ οὐδὲ τοῦτο τῆς ἐπινοίας ἀναπλαττούσης. ἀλλὰ τοῦ νοὸς ἐνεργοῦντος καὶ διανοουμένου. μᾶλλον δὲ ἤρτηται τὸ ἀληθὲς πρώτως καὶ καθ' αὑτὸ τῶν πραγμάτων, ὡς ὁ Φιλόσοφος ἐν τῷ τέλει τοῦ περὶ Οὐσίας κεφαλαίου παρηνίσατο λέγων.

„ Τὸ ἀληθὲς ἐπὶ τοῦ λόγου ἐξ αὐτῶν προέρχεσθαι τῶν πραγμάτων. „ ἐκ γὰρ τοῦ εἶναι, ἢ μὴ εἶναι τὸ πρᾶγμα, ὁ λόγος ἀληθὴς, ἢ ψευδὴς „ λέγεται. καὶ ἐν τῷ περὶ Προτέρου κεφαλαίῳ, ὁμοίως ἔλεγεν. ἔστι δὲ „ ὁ μὲν ἀληθὴς λόγος οὐδαμῶς αἴτιος τοῦ εἶναι τὸ πρᾶγμα, τὸ μέντοι „ γε πρᾶγμα φαίνεταί πως αἴτιον, τοῦ ἀληθῆ τὸν λόγον εἶναι.

Μάλιστα δὲ εἴπερ ἦν λέγειν τὴν λογικὴν καταγίνεσθαι περὶ τὸ κατ' ἐπίνοιαν ὂν, ὅτι τὸ τέλος αὐτῆς ἐστὶν ὄργανα παραδιδόναι τοῖς φιλοσοφοῦσι καθ' ὁμοιότητα τὴν πρὸς τὰ πράγματα μάλιστα ἀπηκριβωμένα εἰς γνῶσιν τῆς ἀληθείας, τί μὴ καὶ ὁ Φιλόσοφος τοῦ κατ' ἐπίνοιαν ὄντος ῥηθήσεται θεωρητικός; οὗ τέλος οἰκεῖον ἐστὶν ἡ γνῶσις τῆς ἀληθείας. Ἀλλὰ περὶ τούτων ἡμῖν καὶ ἄλλοθι πλατύτερον εἴρηται. καὶ ταῦτα ὡς ὁ Φιλόσοφος ἐπὶ τοῦ παρόντος παραινεῖ, ἑτέρας ἐστὶ θεωρίας. Ἐκεῖνο δὲ ἡμῖν πρὸ τῶν ἄλλων ληπτέον, ὅτι Ὀνόματα, καὶ Ῥήματα, καὶ τὰ ἐξ αὐτῶν συντιθέμενα, οὐ καθὸ εἰς σύνθεσιν τοῦ κατὰ γραμματικοὺς ὀρθοῦ λόγου

(1) Ἰστέον ὅτι εἰ καὶ τῶν πραγμάτων ποιητικὰ προσεχῶς αἴτια εἰσὶν ἐξ ὧν ἀποτελεῖται τὰ τοιαῦτα, λαβόντα τὴν κίνησιν ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι, ὅμως ὑπό τινων ὀξυδερκῶς οὐκ ἀτενιζόντων εἰς τὰς ἀληθεῖς αἰτίας, αἱ ἐξωτερικαὶ κατὰ πρόφασιν μόνον συντεθεῖσαι εἰς ἐκπλήρωσιν τοῦ ἀποτελέσματος, οὐκ ὀρθῶς ἀληθεῖς αἰτίαι νομίζονται. ὡς παρὰ τοῖς ἰατροῖς τὰ πολλὰ τοῦ πάθους γενομένου ὑπὸ τῆς ἔνδον πλησμονῆς τῶν χυμῶν, ἐξωτερικαῖς τισιν αἰτίαις τὴν ἀρχὴν ἐκείνου, ἢ τὴν τέχνην οὐκ εἰδότες ἀπονέμουσι φάσκοντες, οἷον ἐκ τῆς χθὲς κινήσεως πυρεταίνει τὸν τοσοῦτον. οὕτω καὶ παρὰ τοῖς νεωτέροις οὐκ εὐστόχως πάνυ λογιζομένοις, ὁ νοῦς ποιητικὸν αἴτιον τῆς ἀληθείας καὶ τοῦ ψεύδους νομίζεται, εἰ καὶ ταῦτα ἐκ τῶν πραγμάτων τὸ εἶναι ἔχει. ἔστι γὰρ ὁ νοῦς οἷον κάτοπτρον ἐν ᾧ τὰ τῶν πραγμάτων ἰνδάλματα, ὡς ἔχει ἀπὸ τῶν ἑτεροειδῶν διεσταλμένα, καὶ τοῖς ὁμογενέσι καὶ ὁμοειδέσι συνεζευγμένα φαινόμενα τῆς τε διαιρέσεως καὶ συνθέσεως τῆς ἐν τῷ νῷ αἴτια γίγνεται, καὶ τῆς ἀληθείας καὶ τοῦ ψεύδους· καθὸ τὰ νοήματα τοῖς ἰνδάλμασιν ἀφομοιοῦνται καὶ ἀνομοιοῦνται, ὃ καὶ ἐν τῇ λεκτικῇ συνθέσει ἐστί. φαμὲν γὰρ ψευδὲς τὸ ἔσοπτρον, ὃ ἄλλως ἀναφαίνει ἢ ὡς ἔχει τὸν ὁρῶντα. εἰ δὲ ὁμοίως καὶ ἀπαραλλάκτως ἐνδείκνυσι τὸν θεατὴν, ἀληθὲς ἔσοπτρον ἤκουσεν. ὡς γοῦν οὐκ ἔστι τὸ ἔσοπτρον τοῦ καλῶς ἢ κακῶς ἔχειν τὸν θεατὴν αἴτιον, οὕτω μηδ' ὁ νοῦς τῆς ἀληθείας ἔσται ἢ τοῦ ψεύδους αἴτιος, ἀλλὰ κατὰ πρόφασιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γου τῇ θεωρίᾳ τῶν λογικευομένων ὑποπίπτει. ἀλλ' ἢ διὰ τῶν νοημάτων, γίνεται τῆς φύσεως τῶν ὄντων δηλωτικά.

„ Ἔστι δὲ ὥσπερ ἐν τῇ ψυχῇ, ὁτὲ μὲν νόημα ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδεσθαι, καὶ τὰ λοιπά.

ΠΡοθέμενος τὸ ὑποκείμενον τῆς λογικῆς πραγματείας, καὶ τὸν τρόπον καθ' ὃν θεωρεῖται διορισάμενος, παραδίδωσιν ἐφεξῆς τὴν διαίρεσιν τῶν θεωρουμένων ἐπὶ τῆς προκειμένης βίβλου. Παραινεῖ δὲ πρὸ τῶν ἄλλων τὴν διαίρεσιν τῶν φωνῶν ἀπὸ τῆς διαιρέσεως τῶν νοημάτων θηρεύειν, οὐ μόνον δὲ, ἀλλὰ καὶ ἁπλότης, καὶ σύνθεσις, καὶ ὅσ' ἄλλα περὶ φωνῶν λέγεται, κατὰ τὴν ἁπλότητα καὶ σύνθεσιν τῶν νοημάτων κρίνεται. ὥσπερ καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος τὸ ἐν ταῖς φωναῖς ἀπὸ τοῦ ἀληθοῦς, καὶ τοῦ ψεύδους τοῦ ἐν τοῖς νοήμασιν. Ἐξ ὧν ἡμῖν παρατηρητέον, ὅπερ ὁ Φιλόσοφος καὶ ἐν τῷ δεκάτῳ κεφαλαίῳ τοῦ πρώτου περὶ ἀποδείξεως δηλώσει. καὶ Ἀμμώνιος ἐδίδαξεν ἐν τῇ πρὸ τῶν κατηγοριῶν θεωρίᾳ, ἐπὶ τῆς πρώτης διαιρέσεως; καὶ ἡμεῖς ἐν ἀρχῇ τῆς πραγματείας, ἐν οἷς περὶ τῆς ὕλης τῆς μεθόδου ἐξεθέμεθα. Τοῦτο δ' ἐστὶν ὅτι ἡ λογικὴ μέθοδος κυρίως καὶ πρώτως περὶ τὸν ἐννοηματικὸν καταγίνεται λόγον, οὗ ἕνεκεν καὶ τὸν ἐν τῇ φωνῇ προσλαμβάνει, ὡς ἑρμηνευτικὸν ἐκείνου τοῦ ἐν τῷ νῷ.

Τοιγαροῦν ὥσπερ τῶν νοημάτων, τὰ μὲν, ἁπλᾶ λέγεται, ὅσα μιᾶς τινὸς ἁπλῆς φύσεως ἐμφαντικά εἰσι. Τὰ δὲ μετὰ συνθέσεως, ἢ διαιρέσεως θεωροῦνται, ἐν οἷς ἀνάγκη ἐστὶ θατέρῳ τούτων ὑπάρχειν τὸ ἀληθὲς, ἢ τὸ ψεῦδος. Οὕτω δὴ καὶ ἐπὶ τῶν φωνῶν ῥητέον, τὰς μὲν ἁπλᾶς λέγεσθαι, ὅσαι ἁπλῶν νοημάτων εἰσὶν ἐκφαντορικαί. τὰς δὲ μετὰ συνθέσεως, ἢ διαιρέσεως, ἐν αἷς ἀνάγκη ἐστὶ τὸ ἀληθὲς, ἢ τὸ ψεῦδος ὑπάρχειν. Καὶ ἁπλαῖ μὲν εἰσὶ φωναὶ Ὄνομα καὶ Ῥῆμα. Σύνθετοι δὲ Κατάφασις, καὶ Ἀπόφασις. καλεῖ γὰρ τὴν μὲν Κατάφασιν ὁ Φιλόσοφος σύνθεσιν, ὅτι ἐν αὐτῇ συντίθεται τὸ σημαινόμενον τοῦ κατηγορουμένου, τῷ σημαινομένῳ τοῦ ὑποκειμένου. Διαίρεσιν δὲ ἐννοεῖ τὴν ἀπόφασιν ἐν ᾗ διαιρεῖται τὸ σημαινόμενον τοῦ κατηγορουμένου, τοῦ σημαινομένου τοῦ ὑποκειμένου. Ὅτι δὲ ἡ ἐν ταῖς φωναῖς ἁπλότης, ἢ σύνθεσις, ἀπὸ τῆς ἁπλότητος ἢ συνθέσεως τῶν νοημάτων ἐστὶ ληπτέα, δῆλον. οὔτε γὰρ ἁπλῆν εἶναι φαμὲν φωνὴν, τὴν μὴ ἐκ διαφόρων συγκειμένην φωνῶν,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐκεῖνα ἐν τοῖς δηλουμένοις νοήμασι θεωρεῖται σύνθεσις, ὥσπερ οὐδὲ σύνθετον καλοῦμεν φωνὴν τὴν ἐκ πολλῶν συγκειμένην φωνῶν, ὄντος τοῦ δηλουμένου νοήματος ἁπλοῦ, οἷον ἡ ἱπποκένταυρος φωνή, σύνθετος μὲν ἐστὶν ἐκ διαφόρων φωνῶν, λέγεται μέντοι ἁπλοῦν ὄνομα, ὡς ἁπλοῦ νοήματος ἐκφαντορικόν. Ἀλλὰ καὶ οἱ ὁρισμοὶ τῶν πραγμάτων, ὡς τὸ ζῶον λογικὸν θνητόν, καίτοι συγκείμενοι πλείοσι φωναῖς, ἁπλοῦ ὀνόματος χώραν ἔχουσι παρὰ τοῖς λογικευομένοις, ὅτι πᾶσαι αἱ τοιαῦται φωναὶ μιᾶς ἁπλῆς φύσεως εἰσὶν ἑρμηνευτικαί, καὶ οὔτε ἀλήθειαν, οὔτε ψεῦδος σημαίνουσιν. Ὡσαύτως δὲ καὶ ἐξ ἐναντίας, φωνὴ ἁπλῆ οὖσα, ἐστὶν ὅτε σύνθεσιν ἔχειν λέγεται, ἡνίκα ἐν τοῖς δηλουμένοις νοήμασιν ὑπάρχει σύνθεσις. ὡς ἡ ἐννοῶ φωνή, ἢ ἐννοεῖς, καίτοι ἁπλῆ οὖσα φωνή, σύνθετος λέγεται, ἡνίκα συνεισακούεται τὸ ἐγώ, ἢ σύ. ἐκφαίνει γὰρ τηνικαῦτα ἔννοιαν οὐσίας, μετὰ τῆς ἐνεργείας δηλαδὴ τῆς νοήσεως. Ἡνίκα δὲ ὁ Φιλόσοφος τὸ Ῥῆμα ἁπλῆν εἶναι τίθησι φωνήν, ἐννοεῖ τοῦτο αὐτὸ τινὸς προσθήκης κειμένης, ἢ ἐξακουομένης. Διό φησι, τὰ μὲν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα, οὐδέν, οὔτε ψεῦδος, οὔτε ἀληθὲς σημαίνει, ἂν μὴ τὸ εἶναι ἢ τὸ μὴ εἶναι (1) προστεθῇ. Βούλεται δέ, διὰ τοῦ εἶναι, ἢ μὴ εἶναι, πάντα δηλῶσαι τὰ ῥήματα. ἕκαστον γὰρ τῶν ἄλλων ῥημάτων ἀναλύεται διὰ μετοχῆς εἰς τὸ ὑπαρκτικὸν ῥῆμα, ὡς ἐν τοῖς ἑξῆς αὐτὸς διδάξει ὁ Φιλόσοφος. Τὸ δὲ ἁπλῶς, ἢ κατὰ χρόνον εἶπεν, ἵνα μετὰ τοῦ ἐνεστῶτος, καὶ τὸν παρῳχημένον καὶ μέλλοντα συμπεριλάβῃ, ἁπλῶς γὰρ ῥήματα ἐννοεῖ τὰ προσσημαίνοντα χρόνον ἐνεστῶτα. κατὰ χρόνον δέ, τὰ προσσημαίνοντα παρῳχημένον, ἢ μέλλοντα.

Ἐκ τῶν εἰρημένων πρόδηλον γίνεται, καὶ τὸ χρήσιμον, ἵνα μὴ τὸ ἀναγκαῖον εἴπω τῆς προτεθείσης βίβλου. ὁ γὰρ ἀποφαντικὸς λόγος γένος ἐστὶ τοῦ συλλογισμοῦ. ἡ δὲ τοῦ γένους γνῶσις ἀναγκαίως προλαμβάνεται τῆς γνώσεως τῶν αὐτοῦ εἰδῶν. Ὁμοίως δὲ καὶ τὸ αἴτιον τῆς ἐπιγραφῆς ἐκ τῶν αὐτῶν γίνεται γνώριμον. ὁ γὰρ ἀποφαντικὸς λόγος ἑρμηνεία λέγεται, ὡς ἑρμηνευτικὸς τῶν κατὰ τὰς γνωστικὰς δυνάμεις παθημάτων τῆς ἡμετέρας ψυχῆς. διὸ οὐκ ἀπεικότως ἡ βίβλος ἐπιγέγραπται Περὶ Ἑρμηνείας. Τέτραχα δ' αὐτὴν εὐλόγως ταύτην διεῖλε, εἰς τὸ προοίμιον, εἴτουν εἰσαγωγήν, ἥτις ἐν τῷ πρώτῳ περιέχεται κεφαλαίῳ. εἰς τὴν ἁπλῶν λεγομένην ἑρμηνείαν, οἷον ἐστὶ τὸ Ὄνομα, καὶ τὸ Ῥῆμα. καὶ εἰς τὸν αὐτῶν ἑρμηνευτικὸν λόγον. Τελευταῖον ὁ Φιλόσοφος τὰς ἐναντίας ἀπο-



(1) Τουτέστιν ἀναμεταξὺ τούτων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φαίνεις ταῖς ἀντιφατικαῖς παραβάλλει, δεικνὺς ὁπόσῳ τούτων μείζονος ἀντιθέσεως τυγχάνουσιν οὖσαι.

## Περὶ Ὀνόματος.

Τὸ Ὄνομα μὲν ὥρισται τῷ Φιλοσόφῳ, ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην, ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. Καὶ τὸ μὲν φωνὴ σημαντικὴ κατὰ συνθήκην, ὡς γένος παρείληπται, ὁμοίως ἐφαρμόττον καὶ ῥήματι, καὶ λόγῳ. εἰσὶ γὰρ ταῦτα πάντα οὐ φύσει σημαντικά, ἀλλ' ὅταν σύμβολα γένηται κατὰ συνθήκην καὶ προαίρεσιν τῶν χρωμένων.

Τὸ δὲ ἄνευ χρόνου διαστέλλει τοῦ ῥήματος τὸ ὄνομα, μετὰ χρόνου ὂν τὸ ῥῆμα δηλωτικόν. Τὰ δὲ ἐφεξῆς ἐν τῷ ὅρῳ κείμενα εἰς διαφορὰν εἴρηται τοῦ ὀνόματος πρὸς τὸν λόγον. οὐδενὸς γὰρ ὀνόματος μέρος χωρισθὲν ἐκείνου (εἰ καὶ λόγου μέρος διασώζει) γένοιτο ἂν σημαντικὸν καθ' αὑτό, καὶ τοῦτο δῆλον ἐν τοῖς ἁπλοῖς ὀνόμασιν. ἐν δὲ τοῖς συμπεπλεγμένοις δοκοῦσι πως τὰ μέρη χωρισθέντα, σημαντικὰ γίνεσθαι καθ' ἑαυτά, ὡς τοῦ νεάπολις, φέρε εἰπεῖν τὸ νέα καὶ πόλις, σημαντικὰ φαίνεται εἶναι, χωρὶς ἀλλήλων προφερόμενα, οὐ μέντοι ὡς μέρη δηλωτικὰ τοῦ αὐτοῦ πράγματος, ἀλλ' ὡς ὁλόκληρα ὀνόματα, καθ' ἑαυτὰ σημαντικὰ γίνεται, οὐ τοῦ αὐτοῦ, οὗπερ καὶ συμπεπλεγμένα, ἀλλ' ἑκάτερον καθ' αὑτὸ διαφόρου ἐννοίας.

Τρία μέρη φαίνεται εἶναι τῆς ἐκτεθείσης ὑπογραφῆς τοῦ ὀνόματος. Πρῶτον ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην. Δεύτερον τὸ σημαίνειν ἄνευ χρόνου. Καὶ τρίτον ὅτι μηδὲν μέρος τοῦ ὀνόματος σημαντικόν ἐστι κεχωρισμένον. Καὶ τὸ μὲν πρῶτον χώραν ἐπέχει γένους, ὡς εἴρηται. κοινὸν γὰρ πρὸς ἀμφότερα τό, τε Ῥῆμα δηλαδή, καὶ τὸ Ὄνομα.

Εἴρηται δὲ φωνὴ σημαντική, πρὸς ἀντιδιαστολὴν τῶν μὴ σημαντικῶν ὀνομάτων τε καὶ φωνῶν, οἷά εἰσι τὸ λεγόμενον βλίτυρι, κνὰξ, καὶ ὅσ' ἄλλα. Διὰ δὲ τοῦ κατὰ συνθήκην, διακρίνεται τῶν μὴ κατὰ συνθήκην σημαντικῶν φωνῶν, οἷόν ἐστιν ὑλακὴ κυνός, καὶ στεναγμός, καὶ καγχασμὸς ἐπ' ἀνθρώπου. ὧν ἡ μὲν σημαίνει παρουσίαν ξένου, τὰ δὲ πάθος ἐν ψυχῇ, ἀλλ' οὐ κατὰ συνθήκην, ἀλλ' ἐξ ἰδιότητος φυσικῆς. Τῶν ὀνομάτων δὲ οὐδὲν σημαντικὸν ἐκ φύσεως γίνεται, ἀλλὰ τὸ σημαντικὰ εἶναι ἔχουσι κατὰ σύμβασιν, καὶ ὁμολογίαν τῶν ἐξ ἀρχῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΓΕΩΡΓΙΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ψηφιοποιητής Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

χῆς ὀνοματοθέτου. οἱ ἄνθρωποι γὰρ (1) συμβεβηκότες ἀλλήλοις, ταῖσδε μὲν ταῖς φωναῖς ταῦτα τῶν ὄντων ἐννοεῖν, ἐκείναις δὲ ἄλλα ἐνομοθέτησαν. Τὸ δεύτερον δὲ ὅπερ ἐστὶ τὸ σημαίνειν ἄνευ χρόνου, διαφορὰν τοῦ Ὀνόματος πρὸς τὸ ῥῆμα ἀπεργάζεται. Τὸ δὲ τρίτον μέρος εἴρηται πρὸς ἀντιδιαστολὴν τοῦ Ὀνόματος πρὸς τὸν λόγον. Τὰ γὰρ μέρη τοῦ λόγου κεχωρισμένα γίνεται καθ' ἑαυτὰ σημαντικά. τὰ δὲ μέρη τοῦ Ὀνόματος οὐκ εἰσὶ κεχωρισμένα σημαντικά. Εἰ γὰρ τοῦ κάλλιππος ὀνόματος, τὸ ἵππος μέρος ὄν, σημαντικὸν γίνεται κεχωρισμένον, ἀλλ' ὡς ὄνομα καθ' αὑτό, οὐχ' ὡς μέρος τοῦ κάλλιππος. τὸ γὰρ ἵππος οὐδὲν σημαίνει τοῦ σημαινομένου τῷ καλλίππῳ, ἔχει δὲ λόγον ὁλόκληρον ὀνόματος.

Τίθησι δὲ ὁ Φιλόσοφος, τοῦ Ὀνόματος διαφορὰς τρεῖς. Τὸ μὲν γὰρ ἀόριστον μόνον Ὄνομα λέγεσθαι βούλεται, Τὸ δὲ, Πτώσεις ὀνόματος. Καὶ παρὰ ταῦτα ὄνομα τὸ ὡρισμένως καὶ ὀρθῶς δηλωτικόν. Καὶ ἀόριστον μὲν ὄνομα καλεῖ οὗ προτεθὲν τὸ ἀρνητικὸν μόριον, δίδωσιν ἀορίστως πάντα τὰ ἄλλα σημαίνειν, πλὴν τοῦ οἰκείου αὐτῷ σημαινομένου, οἷον τὸ οὐκ ἄνθρωπος, σημαίνει πάντα τὰ παρὰ τὸν ἄνθρωπον διὰ τὴν προκειμένην ἄρνησιν, καὶ ὄντα καὶ μὴ ὄντα. Τὰ δὲ τοιαῦτα οὐκ ὀνόματα ἁπλῶς, ἀλλὰ μετὰ προσθήκης ὀνόματα ἀόριστα καλεῖται.

Πτώσεις δὲ ὀνόματος ἤκουσαν τῷ Φιλοσόφῳ, ὅσα μὴ κατ' ὀρθὴν πτῶσιν ἐκφέρεται, οἷον φίλωνος, ἢ φίλωνι, καὶ ὅσα τοιαῦτα. Αἴτιον δὲ τῆς προσηγορίας φησὶ, τὸ μὴ ἀληθεύειν, ἢ ψεύδεσθαι, μετὰ τοῦ ἐστὶν, ἢ ἦν, ἢ ἔσται ῥήματος. Κυρίως δὲ Ὄνομα ἐστὶ τὸ κατ' ὀρθὴν πτῶσιν, καὶ ὡρισμένως δηλωτικόν. Ὁ μέντοι ἀποδοθεὶς τοῦ Ὀνόματος λόγος, πάσαις ἐφαρμόττειν δοκεῖ ταῖς ἐκτεθείσαις τοῦ Ὀνόματος διαφοραῖς. λέγεται δὲ παρὰ τῷ Φιλοσόφῳ Ὄνομα, οὐ μόνον τὸ κατὰ γραμματικοὺς, ἀλλὰ κοινότερον πᾶσα φωνὴ ὑποκειμένου χώραν ἐν προτάσεσιν ἀποπληροῦσα. Ἐπὶ τοῦ παρόντος δὲ αὐτῷ ὁ λόγος περὶ μόνου τοῦ κατ' ὀρθὴν πτῶσιν ἐκφερομένου Ὀνόματος. τὰ δὲ λοιπὰ ἀποκλείει.



(1) Ἢ συνελθόντες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Περὶ Ῥήματος.

Εἴρηται τῷ Φιλοσόφῳ περὶ Ὀνόματος, ἑπομένως δὲ καὶ περὶ Ῥήματος διαλαμβάνει. Προηγεῖται δὲ ταῦτα τοῦ λόγου, ὡς τὰ μέρη τοῦ ὅλου. προληπτέα γὰρ ἡ γνῶσις τῶν μερῶν, τῆς τοῦ ὅλου γνώσεως. Πρότερον δὲ περὶ Ὀνόματος διέλαβεν, ὅτι τὰ Ὀνόματα σημαίνουσιν ὕπαρξιν πραγμάτων, ἤγουν αὐτὰ τὰ πράγματα ὡς ὑπάρχοντα. Τὰ δὲ Ῥήματα τὰς κινήσεις καὶ πάθη τῶν αὐτῶν. Πρότερον δὲ ἐννοεῖται τὰ πράγματα, ὡς ὑπάρχοντα, ἢ ὡς κινούμενα, καὶ πάσχοντα.

(1) Φαίνεται δὲ καὶ τὸ Ῥῆμα οὐχ ἁπλῶς παρὰ τῷ Φιλοσόφῳ λεγόμενον. καὶ γὰρ (2) καθόλου, ἡ ἐν προτάσει κατηγορούμενον ποιοῦσα φωνὴ, Ῥῆμα παρ' αὐτῷ λέγεται, ὁποία ποτ' ἂν ᾖ. καθὸ καὶ τὰ ὀνόματα ἐσθ' ὅτε τῆς τοῦ ῥήματος ἀξιοῦται προσηγορίας. Ἀλλὰ ταύτης τὸ, καὶ προσσημαίνειν χρόνον, ἐπιγινόμενον συστέλλει, καὶ δεύτερον ἀποτελεῖ τοῦ ῥήματος σημαινόμενον, τὴν μετὰ χρόνου δηλαδὴ σημαντικὴν φωνήν. Τρίτον ἧς αὖθις ἐστὶν ἐπ' ἔλαττον, ἡ πρὸς τοῖς εἰρημένοις καὶ τὸ σημαινόμενον ὡρισμένον ἔχουσα. Τέταρτον καὶ ταύτης ἡ καὶ τῷ χρόνῳ τῷ ἐνεστῶτι μόνῳ περιορίζουσα.

Τετραχῶς οὖν τοῦ Ῥήματος λεγομένου, κατὰ τὸ δεύτερον σημαινόμενον ἐπὶ τοῦ παρόντος μόνον ὁρίζεται λέγων, Ῥῆμα ἐστὶ τὸ προσσημαῖνον χρόνον, οὗ μέρος οὐδὲν σημαίνει χωρὶς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον.

Τεί-

(1) Ἐπεξήγησις. ῥῆμα λέγεται παρὰ τοῖς λογικοῖς οὐ τὸ παρὰ γραμματικοῖς δεύτερον μέρος τοῦ λόγου, ἀλλ' ὁποία τις ἂν εἴη φωνὴ τὸ κατηγορούμενον ἐν ταῖς προτάσεσιν ἀποτελοῦσα. διὸ καὶ τὰ ὀνόματα, ἐπειδὰν κατηγορῆται, ῥήματα λέγεται εἰσποιούμενα τὴν μετὰ χρόνου σημασίαν τοῦ προστιθεμένου ὑπαρκτικοῦ ῥήματος. αὐτὰ δὲ τὰ ῥήματα, καὶ τῇ κλήσει καὶ τῷ κατηγορεῖσθαι τοιαῦτα λεγόμενα, καθ' αὐτὰ μετὰ χρόνου σημαίνουσι, καὶ τῆς φωνῆς ἐπ' ἔλαττόν εἰσι καθὸ καὶ τὰ ὀνόματα φωναί εἰσι, περιεχούσης τῆς φωνῆς τό,τε ὑποκείμενον καὶ τὸ κατηγορούμενον. κἀκεῖνο εἰδέναι δέον ὅτι τὰ ὡρισμένα τῶν ῥημάτων, κυρίως εἰσὶ ῥήματα, οὐ μὴν, ἀλλ' ὅσα τῷ ἐνεστῶτι χρόνῳ προφέρονται. τὰ γὰρ ἀόριστα οἷόν ἐστι τὸ, οὐ περιπατῶν, καὶ οἱ πλείους χρόνοι τῶν παρὰ λογικοῖς ῥημάτων ὀρθῶς ἀποκλείονται. ὡς γὰρ ὄργανον ἐπιστήμης ἡ λογικὴ, ἥτις περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καταγινομένη, οὔτε περὶ τῶν ῥευσάντων καὶ φθαρέντων, οὔτε περὶ τῶν ῥυησομένων καὶ φθαρησομένων λόγους ποιοῦσα, χρῆται ταῖς προτάσεσιν, ἀλλὰ περὶ τῶν ἀφθάρτων καὶ ἑστηκότων τὰς ἀποδείξεις ἀπεργαζομένη τῶν ἐνεστώτων ῥημάτων τὴν χρῆσιν ἀπαιτεῖ. (2) Πρῶτον σημαινόμενον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τέτταρα εἰσὶ τὰ μέρη τῆς ἐκτεθείσης ὑπογραφῆς, ὧν τὸ πρῶτον ἐστὶν, ὅτι ἐστὶ φωνὴ σημαντικὴ κατὰ συνθήκην. ὃ καὶ τόπον ἐπέχει γένους, ὡς τῷ τε ὀνόματι κοινὸν ὄν, καὶ τῷ λόγῳ. Παρῆκε δὲ ὁ Φιλόσοφος τοῦτο ἑκὼν διὰ συντομίαν, ἔξωθεν συνυπακούεσθαι, ἐκ τῶν περὶ Ὀνόματος εἰρημένων. Δεύτερον μέρος ἐστὶν ὅτι προσσημαίνει χρόνον, καθ᾽ ὃ ἀντιδιαστέλλεται τοῦ Ὀνόματος τὸ ῥῆμα. Δηλοῖ δὲ τὸ προσσημαίνειν χρόνον, τὸ μετὰ τῆς σημαινομένης δηλαδὴ κινήσεως, ἢ πάθους, καὶ τὸν χρόνον συνεμφαίνειν, καθ᾽ ὃν ἡ κίνησις καὶ τὸ πάθος. Εἰ γὰρ καίτινα τῶν ὀνομάτων χρόνον σημαίνειν δοκοῦσιν ὡς ἡμέρα, ἔτος, μήν, ἢ καὶ προσσημαίνειν, ὡς δεῖπνος, ἄριστον, ἀλλ᾽ οὐδὲν σημαίνει τὸ γινόμενον, καθ᾽ ὅσον ἐν χρόνῳ γίνεται, ὥσπερ τὸ Ῥῆμα, περὶ ὧν εἰρήσεται ἐφεξῆς ἐν οἰκείοις τόποις. Τρίτον ὅτι τούτου μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον. ὅπερ κοινὸν ὂν καὶ τῷ ὀνόματι ἐν τῷ περὶ ἐκείνου λόγῳ, τῆς προσηκούσης τετύχηκεν ἐξηγήσεως. Τέταρτον μέρος ἐστὶν, ὅτι ἐστὶν ἀεὶ τῶν καθ᾽ ἑτέρου λεγομένων σημεῖον. Βούλεται δὲ ὁ Φιλόσοφος διὰ τούτων δηλῶσαι. ὅτι τὸ Ῥῆμα ἀεὶ ἐν ταῖς ἀποφάνσεσι χώραν κατηγορουμένου πληροῖ. ἢν δέ ποτε ἐν ὑποκειμένου λόγῳ ληφθείη τὸ ῥῆμα, οὐκ ἔστι ῥῆμα, ἀλλ᾽ ὄνομα. Ὥσπερ δὲ ἐπὶ τοῦ ὀνόματος ἡ ἄρνησις προστιθεμένη τὸ οἰκεῖον ἐκείνου σημαινόμενον ἀναιροῦσα, κατὰ πάντων ὁμοίως ὄντων τε, καὶ μὴ ὄντων παρεσκεύαζε λέγεσθαι, ταυτὸ τοῦτο καὶ πρὸ τοῦ ῥήματος τιθεμένη ἡ ἄρνησις ἀπεργάζεται, ἡνίκα μὴ ἀπόφασιν ποιεῖ. ὅθεν καὶ τὸ τοιοῦτον ῥῆμα ἀόριστον ἤκουσεν, ὥσπερ καὶ τὸ ὄνομα. Ἀποποιεῖται δὲ ὁ Φιλόσοφος καὶ τὰ ἀόριστα λεγόμενα ῥήματα, ὥσπερ καὶ τὰ ὀνόματα τῆς ἐκτεθείσης τοῦ ῥήματος ὑπογραφῆς. προσέτι τε καὶ τὰς πτώσεις τούτου, μόνῳ δὲ τῷ ἐνεστῶτι, ἐν πλάτει δήπου ἐννοουμένῳ, ἀπονέμει τὰ πρεσβεῖα τοῦ ῥήματος, παρὰ τοὺς ἄλλους χρόνους. Οἱ δὲ πέριξ χρόνοι ὅ,τε παρῳχημένος δηλαδὴ, καὶ ὁ μέλλων πτώσεις ἤκουσαν ῥήματος. Καὶ οὐχ ἁπλῶς ῥήματα, διὰ τὸ μὴ δ᾽ ἁπλῶς, καὶ ἀληθείας καὶ ψεύδους σημαντικὰς ἀποτελεῖν τὰς ἐξ αὐτῶν συντιθεμένας προτάσεις, ἀλλὰ καθ᾽ ὅσον ἐπὶ τὸν ἐνεστῶτα ἀναφέρονται, ἐφ᾽ ὃν δὴ καὶ ἀναφερόμενα, οὐδὲ τῆς τοῦ ῥήματος ἐκπίπτει προσηγορίας.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006